# ΕΓΚΩΜΙΑ ΕΠΙΤΑΦΙΟΥ ΑΓΙΟΥ ΔΗΜΗΤΡΙΟΥ

## Στάσις α΄. Ἦχος πλ. α΄. Ἡ ζωὴ ἐν τάφῳ.

Μακαρίζομέν σε, εὐσεβῶν οἱ χοροί, ἀθλοφόρε μυροβλύτα **Δημήτριε**, καὶ τιμῶμεν σου λειψάνων τὴν σορόν.

1. Ἡ **Θεσσαλονίκη**, ἡ σὴ πόλις σοφέ, ὑπεδέξατο τὰ θεῖα σου λείψανα, ὥσπερ ἄλλην κιβωτὸν ἁγιασμοῦ.
2. Ῥαίνουσιν ἐν μύροις, τὴν σορόν σου σοφέ, εὐλαβῶς Θεσσαλονίκης οἱ κάτοικοι, ἀνυμνοῦντες σε **Δημήτριε** φαιδρῶς.
3. Σύμπας ὁ λαός σου, προπομπὴν ἱεράν, νῦν ποιεῖται τοῖς παντίμοις λειψάνοις σου, καὶ κηρύττει σου τὴν χάριν τὴν πολλήν.
4. Ὁ **Θεσσαλονίκης**, ἀντιλήπτωρ θερμός, παρὰ πάντων ἀνυμνείσθω **Δημήτριος**, ὁ κινδύνων ἐξαιρούμενος ἡμᾶς.
5. Νῦν **Θεσσαλονίκη**, ᾆσμα ᾄδει κοινόν, τῇ ἐλεύσει τῶν ἁγίων λειψάνων σου, μυροβλῦτα, μακεδόνων χαρμονή.
6. Χαίρει σοὶ κραυγάζει, ἀθλοφόρε **Χριστοῦ**, ὁ λαὸς **Θεσσαλονίκης Δημήτριε**, τοῖς λειψάνοις σου ποιούμενος πομπήν.
7. Μῦρον ὥσπερ θεῖον, πᾶσι βλῦσον ἡμῖν, προμηθείᾳ σου τὰ ῥεῖθρα **Δημήτριε**, καὶ κατάσβεσον τὴν φλόγα τῶν παθῶν.

**8.Ἀ**γαλλιωμένη, ἐν τοῖς κόλποις αὐτῆς, τὰ σὰ λείψανα κατέχει **Δημήτριε**, ἡ σὴ πόλις ὧν ἐστέρηται τὸ πρίν.

**9.Ν**εκρωθεὶς τῇ λόγχῃ, ὡς ὁπλίτης **Χριστοῦ**, προστασίᾳ σου τῇ λόγχῃ κατάστρωσον, τοὺς ἐχθροὺς ἡμῶν **Δημήτριε** σοφέ.

**10.Τ**οὺς τῶν σῶν λειψάνων, τὴν σεπτὴν κομιδήν, εἰς τὴν πόλιν σου τιμῶντας **Δημήτριε**, ῥῦσαι πάσης δυσχερείας καὶ πληγῆς.

***Δόξα Πατρί . Τριαδικὸν***

**Ὁ** Πατήρ, ὁ Λόγος, καὶ τὸ Πνεῦμα ὁμοῦ, ὁμοούσιε **Τριὰς** ταῖς δεήσεσι, **Δημητρίου** σῶσον ἅπαντας ἡμᾶς.

***Καὶ νῦν. Θεοτοκίον***

**Ὑ**ψηλὴ καθέδρα, τοῦ τῶν ὅλων **Θεοῦ**, **Θεοτόκε Μαριὰμ Μητροπάρθενε**, δίδου πᾶσι τὴν βοήθειαν τὴν σήν.

**Μ**ακαρίζομέν σε, εὐσεβῶν οἱ χοροί, ἀθλοφόρε μυροβλύτα **Δημήτριε**, καὶ τιμῶμεν σου λειψάνων τὴν σορόν.

*Συναπτὴ μικρὰ καὶ ἐκφώνησις·*

Ὅτι ηὐλόγηταί σου τὸ ὄνομα καὶ δεδόξασταί σου ἡ βασιλεία τοῦ **Πατρὸς** καὶ τοῦ **Υἱοῦ** καὶ τοῦ ἁγίου **Πνεύματος**, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

**Στάσις β΄. Ἦχος πλ.α΄. Ἄξιον ἐστί.**

Ἄξιον ἐστί, μακαρίζειν σε ᾠδαῖς καὶ ὕμνοις, μάρτυς ἀθλοφόρε **Δημήτριε**, τὸν συντρίψαντα τὸ κράτος τοῦ ἐχθροῦ.

**1.Ἄ**ξιον ἐστί, μεγαλύνειν σου σορὸν τὴν θείαν, ἧς τὴν κομιδὴν εἰς τὴν πόλιν σου, ἑορτάζομεν **Δη-μήτριε** σοφέ.

**2.Ἔ**χει ἐν χαρᾷ, ἤδη μάρτυς, ἡ **Θεσσαλονίκη**, τὰ σὰ ὢ **Δημήτριε** λείψανα, ὧν στερήσει ἠνιᾶτο τῇ μακρᾷ.

**3.Ἅ**παντες πιστοί, προπομπὴν τοῖς σοῖς σεπτοῖς λειψάνοις, ἐν **Θεσσαλονίκῃ** ποιούμενοι, ἀν-υμνοῦμεν σε **Δημήτριε** σοφέ.

**4.Μ**έγας ἀρωγός, θεσσαλονικέων ἀνεδείχθης, μάρτυς ἀθλοφόρε **Δημήτριε**· διὰ τοῦτο σὲ τιμῶ-μεν εὐλαβῶς.

**5.Ν**έκρωσον σοφέ, τῶν ἐχθρῶν τὴν καθ΄ ἡμῶν μανίαν, καὶ εἰρήνην δίδου τῇ ποίμνῃ σου, ὢ **Δη-μήτριε**, ὡς ταύτης ἀρωγός.

**6.Α**ἵμασι τοῖς σοῖς, καὶ τοῖς μύροις σου πρὶν ἡγιά-σθη, ἡ **Θεσσαλονίκη**, **Δημήτριε**, νῦν δὲ χαίρει τῇ ἁγίᾳ σου σορῷ.

**7.Ο**ἱ τῇ σῇ σορῷ, καταφεύγοντες ἐν εὐλαβείᾳ, ἴα-σιν καρποῦνται **Δημήτριε**, καὶ σωμάτων καὶ ψυχῶν θείᾳ ῥοπῇ.

**8.Ἵ**λαθι **Σωτήρ**, ταῖς τοῦ **Δημητρίου** ἱκεσίαις, τῇ κληρονομίᾳ σου **Κύριε**, καὶ σεισμοῦ ἡμᾶς ἀπάλ-λαξον φρικτοῦ.

**9.Ἄ**νωθεν ἡμᾶς, ἐποπτεύεις μάρτυς φιλευσπλάγ-χνως, λύων καθ' ἡμῶν πᾶσαν κάκωσιν, καὶ λυ-τρούμενος σεισμῶν φθοροποιῶν.

**10.Ν**άμασι τῆς σῆς, ἀντιλήψεως μεγαλομάρτυς, ἄρδευσον ἡμῶν τὴν διάνοιαν, τὴν διψῶσαν ἐν ἐ-ρήμῳ τῶν παθῶν.

***Δόξα Πατρί . Τριαδικὸν***

**Ὅ**λης ἐκ ψυχῆς, ὁμοούσιε **Τριὰς** ἁγία, **Δημη-τρίου** σῶζε δεήσεσι, τοὺς λατρεύοντας τῷ κράτει σου πιστῶς.

***Καὶ νῦν . Θεοτοκίον***

**Ὕ**ψιστον **Θεόν**, ἡ κυήσασα ἀνερμηνεύτως, μόνη **Θεοτόκε** πανάχραντε, ἡμᾶς λύτρωσαι ἐκ πάσης ἀπειλῆς.

**Ἄ**ξιον ἐστί, μακαρίζειν σε ᾠδαῖς καὶ ὕμνοις, μάρτυς ἀθλοφόρε **Δημήτριε**, τὸν συντρίψαντα τὸ κράτος τοῦ ἐχθροῦ.

***Συναπτὴ μικρὰ καὶ ἐκφώνησις·***

Ὅτι ἅγιος εἶ ὁ **Θεὸς** ἡμῶν, ὁ ἐπὶ θρόνου δόξης τῶν χε-ρουβεὶμ ἐπαναπαυόμενος, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν σὺν τῷ ἀνάρχῳ σου **Πατρί** καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου **Πνεύματι**, νῦν καὶ ἀεί καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

## Στάσις γʹ. Ἦχος γʹ. Αἱ γενεαὶ πᾶσαι.

**Αἱ** γενεαὶ πᾶσαι, τῶν θεσσαλονικέων, **Δημήτριον** τιμῶμεν.

**1.**Δεῦρο πᾶσα πόλις, τῶν θεσσαλονικέων, **Δημήτριον** ὑμνῆσαι.

**2.**Ῥεῖθρα ἀφθαρσίας, **Δημήτριε** πηγάζει, τὸ θεῖον λείψανόν σου.

**3.**Σκέπε τὴν σὴν πόλιν, σεισμοῦ τοῦ βαρυτάτου, **Δημήτριε** παμμάκαρ.

**4.**Ὕμνους ὥσπερ ἄνθη, τοῖς θείοις σου λειψάνοις, ἡ πόλις σου προσφέρει.

**5.**Μέγας ἀντιλήπτωρ, **Θεσσαλονίκης** ὤφθης, **Δημήτριε** ἐν πᾶσι.

**6.**Ὕμνησέ σε μάρτυς, ἡ πόλις δεξαμένη, πιστῶς τὰ λείψανά σου.

**7.**Κλῖνον μυροβλῦτα, τὸ οὖς σου τῇ δεήσει, ἡμῶν τῶν σὲ φιλούντων.

**8.**Αἶνον ἀντὶ μύρου, τοῖς σοῖς λειψάνοις μάρτυς, προσφέρομεν ἐν πίστει.

**9.**Ῥαίνομεν τοῖς μύροις, τὸ θεῖον λείψανόν σου, ὁ σὸς λαὸς παμμάκαρ.

**10.**Ἀρώματα καὶ μύρα, προσφέρομεν ἐν πίστει, τοῖς σοῖς λειψάνοις μάρτυς.

**11.Ὀ**σμὴν τὴν θείαν δίδου, τοῖς ῥαίνουσιν ἐν μύροις, τὸ λείψανόν σου μάρτυς.

**12.Ἐ**ν μύροις τε καὶ ὕμνοις, δεχόμεθα τὴν θείαν σορὸν σου μυροβλύτα.

**13.Μ**υρίπνοος ὢν μάρτυς, δέχου νῦν τὰ μῦρα τῶν σὲ ὑμνολογούντων.

**14.Π**ρεσβείαις σου, ὦ μάρτυς, ὑπὲρ τοῦ σοῦ ἱκέτου, ἱκέτευε τὸν κτίστην.

***Δόξα Πατρί . Τριαδικὸν***

**Ὁ**μότιμε Θεότης, λιταῖς τοῦ **Δημητρίου**, οἴκτειρον τὸν λαόν σου.

***Καὶ νῦν. Θεοτοκίον***

**Ὑ**πὲρ τῶν σὲ ὑμνούντων, δυσώπει **Θεοτόκε**, μετὰ τοῦ **Δημητρίου**.

**Α**ἱ γενεαὶ πᾶσαι, τῶν θεσσαλονικέων, **Δημήτριον** τιμῶμεν.

*Συναπτὴ μικρὰ καὶ ἐκφώνησις·*

Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ δυνάμεις τῶν οὐρανῶν καὶ σοὶ τὴν δόξαν ἀναπέμπουσι τῷ **Πατρὶ** καὶ τῷ **Υἱῷ** καὶ τῷ ἁγίῳ **Πνεύματι**, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.